test ad stultitiam: Tamen quia luna dicta à splendore & luce, & calui ea parte videntur splendere, propterea σελήνια dicti, & ab ipsa luna amari dicuntur, vel quod in orbe lunæ omnia contraria huic orbi sunt, & caluities illic tā familiaris quàm hîc cæsaries. Κἀπὶ τραπέζῃ] In conuiuiis sæpè in caluos dicta iocularia iaciebantur. Petronius in Satyrico. Cùm Eumolpus & ipse vino solutus dicta velut in caluos stigmosósque iaculari. Quamuis illic putem stigmosos vocari qui nęuos habēt, & caluos qui rasi: nam apud poëtas præsertim hęc promiscuè vsurpantur. Τρωγαλίων] Bellaria sic vocantur ab edendo quæ & τραγήματα ab eadem origine τρώγω, nam inde τράγος quia rodere so-

A let, vt dicitur, *Rode caper vitem*: etsi differre putat Athenæus lib. 14. vbi τραγημάτων multa nomina: Nam ἐπιδορπίσματα, & μεταδόρπια, & ἐπιφορήματα & ἐπιτραπεζώματα & δευτέρας τραπέζας vocat, imò & ἐπάικλα (sic enim corrigo Athenæum vbi legitur ἐπείκλεια. sanè enim ἄικλον, conuiuium) quāuis doctiss. Dalechampius ἐπαΐκλα legat, nescio vnde id verbi expiscatus. Nam Hesychius variat qui cum ἄικλον conuiuium esse dixerit, postea ait ἀναίκλεια ἄδειπνα, nisi mendum est & legendum B ἀναίκλεια. Idem Athenæus libr. 4. κοπίδα ait fuisse apud Laconas cœnam εὐτελῆ & propriè vt ἄικλον ex Eupolide in εἵλωσι. Possint etiam vocari ἐπίδαιτρα quæ placentas designant.

Ὠδὴ, καὶ στροφὴ κώλων κβ'.

Χο. Μοῦσα, σὺ μὲν πολέμους
Ἀπωσαμένη μετ' ἐμοῦ
Τοῦ φίλου χόρευσον,
Κλείουσα θεῶν τε γάμους,
Ἀνδρῶν τε δαῖτας,
Καὶ θαλίας μακάρων.
Σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει,
Ἢν δέ σε Καρκίνος ἐλθὼν,
Ἀντιβολεῖ μετὰ τῶν παί-
δων χορεῦσαι,
Μήθ' ὑπακούσῃς, μήτ' ἔλ-
θῃς συνέριθος αὐτοῖς,
Ἀλλὰ νόμιζε πάντας
Ὄρτυγας οἰκογενεῖς,
Γυλιαύχενας ὀρχηστὰς
Ναννοφυεῖς, σφυράδων
Ἀποκνίσματα,
Μηχανοδίφας.
Καὶ γὰρ ἔφασχ' ὁ πατὴρ
Ὃ παρ' ἐλπίδας
Εἶχε τὸ δρᾶμα, γαλῆν
Τῆς ἑσπέρας ἀπάγξαι.

*CH. Musa age bella quidem*
C *Repelle odiosa, choros*
*Mecum agens decentes*
*Diuûm cane connubia, &*
*Cœnas virorum*
*Atque epulas superûm:*
*Nempe ista curas primitus:*
*Sin venit huc quoque Cancer*
*Cum puerisque vocet te has*
D *Ad choreas*
*Abnueas audire aut*
*Suppetias dare illis:*
*Quin genus hocce vernas*
*Ortygas esse puta*
*Saltios breuiceruicos*
*Nanigenas, similes*
*Capristrundius,*
*Machinicrepas.*
E *Nam pater ipsus ait*
*Sibi fabulam*
*Vespere mirificam*
*A fele strangulatam.*

Σχόλια. Μοῦσα σὺ μὲν πολέμους.] τὸ χ πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου. αὕτη δὲ πλοκή ἐστι καὶ ἔλαθεν. σφόδρα δὲ γλαφυρὸν εἴρηται. καὶ ἔστι στησιχόρειον. Μοῦσα. σὺ μὲν] ἡ ᾠδὴ αὕτη καὶ στροφὴ κώλων ἐστὶ κβ. τούτων δὲ καὶ ἡ ἀντῳδὴ καὶ ἀντιστροφή. οὐ γὰρ διήρηται, ἀλλ' ἐχόμεναι εἰσὶν ἀλλήλων. ἐπεὶ οὐ κεῖται μεταξὺ τὸ ἐπίρρημα. τὰ μὲν οὖν α ϛ ιδ ιϛ ιθ κά δακτυλικὰ πενθημιμερῆ. τὰ δὲ β δ. προσῳδιακὰ δίμετρα ἀκατάληκτα ἐκ παίωνος β καὶ χοριάμβου. τὸ δὲ γ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ε ἰαμβικὸν πενθημιμερές. τὸ δὲ ζ ἀκατάληκτον δίμετρον. τὰ η θ ιά δακτυλικὰ τρίμετρα. τὸ ι τροχαϊκὴ βάσις. τὰ ιβ ιγ χοριαμβικὰ εἰς βακχεῖον περαιούμενα δίμετρα. τὸ ιέ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὰ ιζ κ ἀναπαιστικαὶ βάσεις. τὸ ιή δακτυλικὸν δίμετρον. τὸ τελευταῖον ἰαμβικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δ' ἀντιστροφῆς, κορωνίς. Κλείουσα θεῶν τε γάμους.] ὅτι σύνηθες ἦν τοῖς παλαιοῖς, ᾄδειν θεῶν τε καὶ ἡρώων γάμους. σημειοῦται δὲ ταῦτα ὁ μόχθος πρὸς τοὺς ἀθετοῦντας τὴν ἐν Ὀδυσσείᾳ Ἄρεος καὶ Ἀφροδίτης μοιχείαν. Ἢν δέ σε Καρκίνος] Καρκίνος τραγῳδίας ποιητής. ὃς εἶχε ταπεινούς τινας παῖδας. ἐν δὲ τῷ ἀντιγράφῳ παροξύτονον εὗρον τὸ Καρκίνος. ἴσως οὖν συνέστησεν αὐτό, ὡς καὶ Ἄρατος. παῖδες δὲ Καρκίνου τρεῖς, Ξενοκλῆς. Ξε- F νότιμος. Ξέναρχος. τραγικοὶ δὲ οὗτοι χορευταί, οἵτινες διὰ τὴν σμικρότητα τῶν σωμάτων ὄρτυγες ἐκαλοῦντο. Ὄρτυγας οἰκογενεῖς] δέον ὄρνιθας οἰκογενεῖς εἰπεῖν, ὄρτυγας εἶπε. πρᾶγμα τῆς φύσεως ἀλλότριον, πλὴν εἰ μὴ ὡς μαχίμους διαβάλλοι τοὺς παῖδας τοῦ Καρκίνου. φιλερειστικὴ γὰρ τῶν ἀρρένων ὀρτύγων ἡ φύσις. οἰκογενεῖς δέ, ἀντὶ τοῦ ἡμέρους ἐν οἴκῳ τεθραμμένους. προείρηται δὲ περὶ τῶν Καρκίνου υἱῶν, ὅτι μικροί. ἀεὶ μέν τοι τὸ ὄρτυγας ἐκτείνεται. νῦν δὲ διὰ τὸ μέτρον συνέσταλται. Γυλιαύχενας.] αὐ- G χένας οὐκ ἔχοντας. ὥσπερ ὁ γύλιος. ὡς μικροὺς δὲ καὶ γογγυλώδεις σκώπτει. ἐχόρευον δὲ οὗτοι τῷ πατρί. ἄλλως. μακροτραχήλους. γύλιος γὰρ πλέγμα ἐστὶ στρατιωτικὸν ἐπίμηκες. τουτέστιν εἰς ὀξὺ λῆγον. κολοβὸν οὖν εἰκὸς εἶναι τὸ ὅλον σῶμα, καὶ μόνον τὸν τράχηλον μακρόν. ἄλλως. γύλιος πλεκτόν τι σκεῦος στρατιωτικόν, στενόστομον. ἐν ᾧ τὰ σιτία ἐμβάλλουσι. διαβάλλει δὲ αὐτούς, ὡς λεπροὺς καὶ λεπτούς, καὶ μακροὺς τραχήλους ἔχοντας. ἐν τοῖς ἐπιφερομένοις δὲ ἐξηγή-